Permalink: http://gams.uni-graz.at/o:ethnos.117

# D.S. 12,83,1-3

| | |
|---|---|
| Title | Bibliotheca historica |
| Author | Diodorus Siculus |
| Date | 1st Cen.B.C. |
| Original text | οἷς συνήργησε ταὐτόματον. Λεοντίνων γὰρ ὑπὸ Συρακοσίων ἐκ τῆς πόλεως μετῳκισμένων καὶ τὴν πόλιν καὶ τὴν χώραν ἀποβεβληκότων, οἱ φυγάδες αὐτῶν συστραφέντες ἔκριναν πάλιν τοὺς Ἀθηναίους προσλαβέσθαι συμμάχους, ὄντας συγγενεῖς. περὶ δὲ τούτων κοινολογησάμενοι τοῖς ἔθνεσιν οἷς συνεφρόνησαν, κοινῇ πρέσβεις ἐξέπεμψαν πρὸς Ἀθηναίους, ἀξιοῦντες μὲν βοηθῆσαι ταῖς πόλεσιν αὐτῶν ἀδικουμέναις, ἐπαγγειλάμενοι δὲ συγκατασκευάσειν αὐτοῖς τὰ κατὰ τὴν Σικελίαν πράγματα. παραγενομένων οὖν εἰς τὰς Ἀθήνας τῶν πρέσβεων, καὶ τῶν μὲν Λεοντίνων τὴν συγγένειαν προφερομένων καὶ τὴν προϋπάρχουσαν συμμαχίαν, τῶν δ' Ἐγεσταίων ἐπαγγελλομένων χρημάτων τε πλῆθος δώσειν εἰς τὸν πόλεμον καὶ συμμαχήσειν κατὰ τῶν Συρακοσίων, ἔδοξε τοῖς Ἀθηναίοις ἐκπέμψαι τινὰς τῶν ἀρίστων ἀνδρῶν καὶ διασκέψασθαι τὰ κατὰ τὴν νῆσον καὶ τοὺς Ἐγεσταίους. |
| Source | F. Vogel (nach I. Bekker, L. Dindorf), Diodori bibliotheca historica, Bd. 2, Buch V-XII. |
| Source of translation | O. Veh, Diodoros: Griechische Weltgeschichte, Bd. 3, Buch XI-XIII. |
| Instances | D.S. 12,53,1; D.S. 12,54,1; Thuc. 3,86,2-3; Thuc. 4,64,3-4; Thuc. 4,61,2-4; Thuc. 6,6,1-2; Thuc. 6,9,1; Thuc. 6,46,2; Thuc. 6,50,4; Thuc. 6,76,2-4; Thuc. 6,82,2-3; Thuc. 6,84,2-3; Thuc. 7,5,4; Thuc. 7,57,1-58,3 |
| Descriptor | alliance |
| Coverage | Sicily |
| Ethnic Groups | Ionians |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |